σης εὐπάθειάν τινα τῷ σώματι καὶ μεταβολὴν ἐκ τῶν πόνων.
ἡ δὲ φύσις εὐπάθειαν μέν, εἴ τις εὐπάθειαν καλεῖ τὴν ἡδυ-
πάθειαν, οὐκ ἀπαιτεῖ, μεταβολὴν δ' ἀπαιτεῖ τὴν εἰς τὸ μέσον
ἡδονῆς καὶ πόνου καθιστᾶσαν. διὸ καὶ τροφῆς ὑφαιρετέον ἐν
τούτοις καὶ τὸν οἶνον ἢ παντελῶς ἀφαιρετέον ἢ προσοιστέον D
πολλῇ κατακεραννύμενον διὰ μέσου καὶ κατακλυζόμενον ὑδρο-
ποσίᾳ. πλήκτης γὰρ ὢν καὶ ὀξὺς ἐπιτείνει τὰς τοῦ σώματος
ταραχάς, καὶ τραχύτερα ποιεῖ καὶ παροξύνει τὰ πεπληγμένα
παρηγορίας δεόμενα καὶ λειότητος, ἃς μάλιστα τὸ ὕδωρ ἐνδί-
δωσι. καὶ γὰρ ἂν οὐ διψῶντες ἄλλως δὲ θερμὸν ὕδωρ πίω-
μεν μετὰ τοὺς κόπους καὶ τὰς διατάσεις καὶ τὰ καύματα, χα-
λάσματος καὶ μαλακότητος αἰσθανόμεθα περὶ τὰ ἐντός· ἤπιος
γὰρ ἡ τοῦ ὕδατος ὑγρότης καὶ ἄσφυκτος, ἡ δὲ τοῦ οἴνου φο-
ρὰν ἔχει πολλὴν καὶ δύναμιν οὐκ εὐμενῆ τοῖς προσφάτοις E
πάθεσιν οὐδὲ φιλάνθρωπον. καὶ γὰρ ἃς λέγουσιν ἔνιοι τῷ
σώματι τὴν ἀσιτίαν δριμύτητας ἐγγεννᾶν καὶ πικρότητας εἴ
τις δέδιεν ἢ καθάπερ οἱ παῖδες δεινὸν ἡγεῖται πρὸ τοῦ πυρέτ-
τειν μὴ παρατίθεσθαι τράπεζαν ἐν ὑποψίᾳ γεγονώς, εὐάρμο-
στον ἡ ὑδροποσία μεθόριον. καὶ γὰρ αὐτῷ τῷ Διονύσῳ πολ-
λάκις νηφάλια θύομεν, ἐθιζόμενοι καλῶς μὴ ζητεῖν ἀεὶ τὸν
ἄκρατον. ὁ δὲ Μίνως καὶ τὸν αὐλὸν ἀφεῖλε τῆς θυσίας καὶ
τὸν στέφανον ὑπὸ λύπης. καίτοι λυπουμένην ψυχὴν ἴσμεν
οὔθ' ὑπὸ στεφάνων οὔθ' ὑπ' αὐλῶν παθοῦσαν· σῶμα δ' οὐδὲν
οὕτως ἰσχυρόν ἐστιν, ᾧ τεταραγμένῳ καὶ φλεγμαίνοντι προσ- F
πεσὼν οἶνος οὐκ ἠδίκησε.

**20.** Τοὺς μὲν οὖν Λυδοὺς ἐν τῷ λιμῷ λέγουσι διαγαγεῖν
παρ' ἡμέραν τρεφομένους, εἶτα παίζοντας καὶ κυβεύοντας·
φιλόλογον δ' ἄνδρα καὶ φιλόμουσον ἐν καιρῷ δεομένῳ βρα-
δυτέρου δείπνου | διάγραμμα παρακείμενον ἤ τι βιβλίδιον ἢ 133